δὲ καλὸν εἶναι; οὐκ οἶσθ', ὅτι πρὸς ταὐτὰ πάντα κα-
λά τε καὶ ἀγαθά ἐστι; πρῶτον μὲν γὰρ ἡ ἀρετὴ οὐ
πρὸς ἄλλα μὲν ἀγαθὸν, πρὸς ἄλλα δὲ καλόν ἐστιν·
ἔπειτα οἱ ἄνθρωποι τὸ αὐτό τε καὶ πρὸς τὰ αὐτὰ
καλοὶ κἀγαθοὶ λέγονται· πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ
σώματα τῶν ἀνθρώπων καλά τε κἀγαθὰ φαίνεται·
πρὸς ταὐτὰ δὲ καὶ τἆλλα πάντα, οἷς ἄνθρωποι χρῶν-
ται, καλά τε καὶ ἀγαθὰ νομίζεται πρὸς ἅπερ ἂν
6 εὔχρηστα ᾖ. ¶ Ἆρ' οὖν, ἔφη, καὶ κόφινος κοπρο-
φόρος καλόν ἐστιν; ¶ Νὴ Δί', ἔφη, καὶ χρυσῆ γε
ἀσπὶς αἰσχρὸν, ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα ὁ μὲν κα-
λῶς πεποιημένος ᾖ, ἡ δὲ κακῶς. ¶ Λέγεις σὺ, ἔφη,
7 καλά τε καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι; ¶ Καὶ νὴ
Δία ἔγωγ', ἔφη, ἀγαθά τε καὶ κακά· πολλάκις
γάρ τό γε λιμοῦ ἀγαθὸν πυρετοῦ κακόν ἐστιν, καὶ τὸ
πυρετοῦ ἀγαθὸν λιμοῦ κακόν ἐστι· πολλάκις δὲ τὸ μὲν
πρὸς δρόμον καλὸν, πρὸς πάλην αἰσχρόν· τὸ δὲ πρὸς
πάλην καλὸν, πρὸς δρόμον αἰσχρόν. πάντα γὰρ
ἀγαθὰ μὲν καὶ καλά ἐστι, πρὸς ἃ ἂν εὖ ἔχῃ, κα-
8 κὰ δὲ καὶ αἰσχρὰ, πρὸς ἃ ἂν κακῶς. Καὶ οἰκίας
δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρησίμους,
παιδεύειν ἔμοι γ' ἐδόκει, οἵας χρὴ οἰκοδομεῖσθαι. ἐπε-
σκόπει δὲ ὧδε· Ἆρά γε τὸν μέλλοντα οἰκίαν, οἵαν
χρὴ, ἔχειν, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε
9 ἐνδιαιτᾶσθαι καὶ χρησιμωτάτη ἔσται; Τούτου δὲ
ὁμολογουμένου, Οὐκοῦν ἡδὺ μὲν θέρους ψυχεινὴν ἔχειν,
ἡδὺ δὲ χειμῶνος ἀλεεινήν; Ἐπειδὴ δὲ καὶ τοῦτο
συμφαῖεν, Οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλε-
πούσαις οἰκίαις τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς
παστά-

§. 5. πρὸς ταὐτὰ πάντα κ. τ. κ. α. ε.] *Omnes res eandem ob caussam pulcrae et bonae sunt, eodem et pulcra et bona referuntur. Ern.*

τὸ αὐτὸ] Int. κατὰ, *eodem modo.*

ἂν εὔχρηστα] Iunt. εὔχρηστον, perperam.

§. 7. λιμοῦ ἀγαθὸν] H. e. *cibus.*

πυρετοῦ κ. ε. κ. τ. π. ἀγαθὸν] Haec exciderunt in Iunt. ob duplex ἀγαθόν. vid. ad III, 3, 5.

τὸ πυρετοῦ ἀγαθὸν] H. e. *inedia.*

§. 8. οἰκίας] Conf. Oecon. IX, 2 seqq.